# Ευσταθίου Θεσσαλονίκης, Άλωση Θεσσαλονίκης

*Εὐσταθίου Θεσσαλονίκης συγγραφὴ ἁλώσεως*, St. Kyriakidis (εκδ.), *Eustazio di Tessalonica. La espugnazione di Tessalonica*, [Istituto Siciliano di Studi Bizantini e Neoellenici,Testi 5] Palermo 1961, *σελ.* 3, 104-106, 140.

Εὐσταθίου τοῦ Θεσσαλονίκης συγγραφὴ τῆς εἴθε ὑστέρας κατ' αὐτὴν ἁλώσεως, ἠρρωστημένης μὲν ἐπὶ τῆς κατὰ τὸν Κομνηνὸν Ἀνδρόνικον δυσδαίμονος βασιλείας καχεξίας λόγῳ, ἣν ἐκεῖνος φαῦλα διαιτῶν κατὰ τῆς οἰκουμένης πολλὴν ἐκ μακροῦ ἤθροιζε, ταχὺ δὲ πάνυ τεθεραπευμένης ὑπὸ τοῦ ἐλευθερωτοῦ μεγάλου βασιλέως Ἰσαακίου τοῦ Ἀγγέλου, διαδεξαμένου ἐκεῖνον εὐδαιμόνως καὶ εὐτυχῶς τῷ κόσμῳ προνοίᾳ καὶ εὐμενείᾳ θεοῦ μετ' οὐ πολλὰς ἡμέρας τοῦ ἁλῶναι τὴν πόλιν,

Πόλεων ἁλώσεις ἱστορούμεναι εἴτε συγγραφόμεναι μεθόδοις διοικοῦνται ὡς τὰ πολλὰ ταῖς αὐταῖς.

Ἡ δὲ πόλις, εἰσπηδησάντων τῶν ἀντιμάχων, ἔπασχεν ὅσα φιλεῖ δρᾶν ἄγριος πόλεμος. Καὶ οἱ μὲν ἡμέτεροι, οὐχ ὁ μὲν ὁ δ' οὔ, ἀλλὰ πάντες ἔφευγον ἀμεταστρεπτὶ καθ' ὑπεξαίρεσιν εὐαριθμήτων τινῶν, ὅπερ ἔφαμεν·

Καὶ ἦν ἡ καθιστορουμένη φυγὴ οὐκ ἀσύντακτος, ἀλλ' ἐνδόντος ἀρχάς, ὡς προεκτέθειται, τοῦ κορυφαίου στρατηγοῦ· ὃς εἴπερ ἔδειξε πρόσωπον τοῖς ἐχθροῖς, ὡς ἐνεκελεύοντο οἱ τῶν συμφευγόντων γενναιότεροι, συνούλωσεν ἂν ταχὺ τὸ τραῦμα τῆς πόλεως. Οἱ δὲ τοῦ πολεμίου στίφους ἔκαμνον καὶ ῥίπτοντες τοὺς φεύγοντας καὶ σαττόμενοι λάφυρα.

Τί μοι πλείω γράφειν, ἔνθα οὐδὲ βίβλοι ὅλαι μακραὶ ἱκανώσαιειν ἄν με εἰς αὔταρκες διαγράφοντα τοῖς φιληκόοις ὁποῖα ἡμῖν συνέπεσε;

Καὶ ἀπεῖναί τε τὸν Μυροβλύτην τῆς καθ' ἡμᾶς πόλεως καὶ κατ' αὐτὴν τὴν ἅλωσιν εἰσελεύσεσθαι οἱ αὐτοὶ ἑωράκασι. Καὶ ἡμεῖς οὐ πεπιστεύκαμεν.

Ἦν δὲ τετάρτη μετὰ τὰς τρεῖς ἡ τῆς πορθήσεως.